ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΟΝΑΣ

ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝ ΠΡΟΔΡΟΜΟΝ



Ποιηθεὶς παρὰ τοῦ Ἁγίου Μαξίμου τοῦ Γραικοῦ.

Ὁ Ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Δεξιὸς χορός· Ἀμήν.

Καὶ εὐθὺς ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὸν ρμβ΄ ψαλμόν.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς κατάβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σου εἰμι.

Καὶ εὐθύς·

Δεξιὸς χορός· Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ἀριστερὸς χορός· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Δεξιὸς χορός· Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ἀριστερὸς χορός· Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τὰ παρόντα τροπάρια.

Δεξιὸς χορός· Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς μετανοίας γεγονὼς θεῖος Κῆρυξ, * μετανοεῖν με ἐκ ψυχῆς καθ' ἑκάστην, * ἐκδυσωπῶ σε Πρόδρομε ἐνίσχυσον, * ὅπως ἀποθέμενος * ἁμαρτίας τὸ βάρος, * χαίρων ἐποφθήσομαι * τῷ κριτῇ τῶν ἁπάντων * καὶ διὰ σοῦ γεένης τοῦ πυρός, * καὶ αἰωνίου * ῥυσθῶ κατακρίσεως.

Ἀριστερὸς χορός· Ἦχος β΄ . Δόξα.

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, * σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε·* ἀνεδείχθης γὰρ ὄντως καὶ προφητῶν σεβασμιώτερος, * ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. * Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας * χαίρων, * εὐηγγελίσω καὶ τοῖς ἐν Ἅδῃ, * Θεὸν φανερωθέντα ἐν σαρκί, * τὸν αἴροντα * τὴν ἁμαρτίαν τοῦ κόσμου, * καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Δεξιὸς χορός· Ἦχος δ΄. Καὶ νῦν.

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε * τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι·* εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, * τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; * τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; * οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ·* σοὺς γὰρ δούλους σώζεις ἀεὶ * ἐκ παντοίων δεινῶν.

Καὶ εὐθὺς ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὸν ν΄ (50) Ψαλμόν.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνον με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας·

τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τοτε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Καὶ ἀρχόμεθα τοῦ Κανόνος.

Ὠδὴ α΄. Ὁ Εἱρμός. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.
Δεξιὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀεινῶς χειμαζόμενος ὑπ᾽ ἐχθροῦ, * πρὸς σὲ καταφεύγω, * συμμαχίαν ἐπιζητῶν, * Προφῆτα καὶ Πρόδρομε Κυρίου, * τοῦ πονηροῦ τῶν παγίδων με λύτρωσαι.

Ἀριστερὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Παθῶν με ταράττουσι προσβολαί, * καὶ τῶν πεπραγμένων, * ἐγκλημάτων μοι ἡ πληθύς, * ποιεῖ μοι κατώδυνον τὸν βίον, * ταῖς πρὸς Θεόν σου πρεσβείαις με φρούρησον.

Δεξιὸς χορός· Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Τὸν γῆς καὶ θαλάσσης καὶ οὐρανοῦ, * ποιητὴν ἁπάντων, * ἀοράτων καὶ ὁρατῶν, * ὡς αὐτὸν βαπτίσας ἐκδυσώπει, * τῶν χαλεπῶν ἐξ ἐχθρῶν μου ῥυσθῆναί με.

Ἀριστερὸς χορός· Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, * ἐπισκοπῆς θείας, * καὶ προνοίας τῆς παρὰ σοῦ, * ἀξίωσον μόνη Θεομήτορ, * ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

ὨΙδὴ γ΄. Ὁ Εἱρμός. Οὐρανίας ἀψίδος.

Δεξιὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Προστασίαν καὶ σκέπην, * τὴν σὴν ἀεὶ δίδου μοι, * ἐπικαλουμένῳ Προφῆτα, * σύ με κυβέρνησον, * ταῖς ἱκεσίαις σου, * τὸν ἀσφαλῆ πρὸς λιμένα, * τῶν δεσμῶν ἐξαίρων με * τοῦ πολεμήτορος.

Ἀριστερὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱκετεύω Προφῆτα, * τὸν ψυχικὸν τάραχον, * καὶ τὰς προσβολὰς τῶν δαιμόνων * παντοίας πάντοτε, * ἐπερχομένας μοι, * τῆς

ταπεινῆς ἐκ ψυχῆς μου, * ταῖς λιταῖς σου Πρόδρομε, * μακρὰν ἐκδίωξον.

Δεξιὸς χορός· Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Χαλεπαῖς ἁμαρτίαις * καὶ ζοφεροῖς πάθεσι, * περικλυζομένῳ Προφῆτα, * σύ μοι βοήθησον, * ὑπὸ τὴν σκέπην σου, * ὁλοτελῶς προσφυγόντι, * καὶ θερμῶς κραυγάζοντι, * σῶσόν με Πρόδρομε.

Ἀριστερὸς χορός· Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεὸν ἐργέτην τεκοῦσα, * τὸν τῶν καλῶν αἴτιον, * τῆς εὐεργεσίας τὸν πλοῦτον, * πᾶσιν ἀνάβλυσον·* πάντα γὰρ δύνασαι, * ὡς δυνατὸν ἐν ἰσχύϊ, * τὸν Χριστὸν κυήσασα, * Θεομακάριστε.

Δεξιὸς χορός·

Διάσωσον, * ἀπὸ κινδύνων τοὺς δούλους σου, Βαπτιστὰ τοῦ Χριστοῦ * ὅτι πάντες μετὰ Θεὸν * εἰς σὲ καταφεύγομεν, * ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἀριστερὸς χορός·

Ἐπίβλεψον, * ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, * ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, * καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Εἶτα μνημονεύει ὁ ἱερεύς·

Ἔλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Δεξιὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν Ἀνδρέου.

Ἀριστερὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ πατρὸς ἡμῶν (δεῖνα) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Δεξιὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ (ὀνόματα), πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ Μεγαλονήσῳ ταύτῃ, καὶ τῶν ἱεροψαλτῶν, προσκυνητῶν, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας Μονῆς ταύτης.

Ἀριστερὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων καὶ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἱερᾷ Μονῇ ταύτῃ.

Δεξιὸς χορός· Κύριε, ἐλέησον (ἅπαξ).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Δεξιὸς χορός· Ἀμήν. Κάθισμα. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Πρεσβείαν θερμὴν κεκτήμεθά σε ἅγιε, * προστάτην θερμὸν καὶ μέγαν ἀντιλήπτορα, * ἐκτενῶς βοῶμέν σοι, Βαπτιστὰ καὶ Πρόδρομε, πρόφθασον * καὶ νοσημάτων λύτρωσαι ἡμᾶς, * τοὺς πίστει * καὶ πόθῳ ἀνυμνοῦντάς σε.

Ὠδὴ δ΄. Ὁ Εἱρμός. Εἰσακήκοα Κύριε.

Ἀριστερὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῶν παθῶν μου τὸν τάραχον, * ὁ τὸν εἰρηνάρχην βαπτίσας Κύριον, * ταῖς πρεσβείαις σου κατεύνασον, * καὶ εἰς γῆν πραέων με ἐνόρμησον.

Δεξιὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Θὑσπλαγχνίας τὸ πέλαγος, * ὁ ἀνυποστόλως κηρύξας ἅπασι, * καθικέτευε σοῦ δέομαι, * τῶν βασάνων ὅπως λυτρωθείημεν.

Ἀριστερὸς χορός· Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἀπολαύοντες Πρόδρομε, * τῶν σῶν δωρημάτων σοὶ χαριστήριον, * ἀναμέλπομεν ἐφύμνιον, * οἱ τῶν σῶν τρυφῶντες ἀντιλήψεων.

Δεξιὸς χορός· Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Οἱ ἐλπίδα καὶ στήριγμα * καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, * κεκτημένοι σε Πανύμνητε.

Ἀριστερὸς χορός· … δυσχερείας πάσης ἐκλυτρούμεθα.

Ὠδὴ ε΄. Ὁ Εἱρμός. Φώτισον ἡμᾶς.

Δεξιὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πλήρωσον ἡμῶν, * τὰς αἰτήσεις τῶν τιμώντων σε, * ὁ τοῦ ἀδύτου τὴν ὑφήλιον, * φωτὸς πληρώσας, * τῷ κηρύγματί σου Πρόδρομε.

Ἀριστερὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Λύτρωσαι ἡμᾶς, * ἐκ κινδύνων Βαπτιστὰ τοῦ Χριστοῦ, * ὁ αἰωνίαν κηρύξας λύτρωσιν, * καὶ τὴν εἰρήνην * τὴν πάντα νοῦν ὑπερέχουσαν.

Δεξιὸς χορός· Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Λῦσον τῶν δεινῶν, * καταιγίδας καὶ τὸν κλύδωνα, * τῶν πρεσβειῶν τῶν σῶν τῇ θερμότητι, * ὁ τὸν Σωτῆρα, * βαπτίσαι φανεὶς ἐπάξιος.

Ἀριστερὸς χορός· Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἴ΄ασαι Ἁγνή, * τῶν παθῶν μου τὴν ἀσθένειαν, * ἐπισκοπῆς σου ἀξιώσασα, * καὶ τὴν ὑγείαν.

Δεξιὸς χορός· … τῇ πρεσβείᾳ σου παράσχου μοι.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.Τὴν δέησιν ἐκχεῶ.

Ἀριστερὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Θανάτου * καὶ τῆς φθορᾶς ἐξάρπασον, * ἀφθαρσίαν μοι διδοὺς ἀπολαύειν, * ἐκ πειρασμῶν καὶ κινδύνων παντοίων, * καὶ ἐναντίων ἐφόδων ἐξαίρων με, * δεήσεσι σαῖς Βαπτιστά, * τοῦ Κυρίου καὶ σῶσον με δέομαι.

Δεξιὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Προστάτιν σε * τῆς ζωῆς ἀκοίμητον, * καὶ θερμὸν ἐν περιστάσεσι πρέσβυν, * καὶ πειρασμῶν διαλύοντα νέφος, * καταπλουτήσαιμι εἴθε Πανάγιε, * καὶ ἴδοιμι τὸν δυσμενῆ, * ὑπὸ σοῦ κραταιῶς διωκόμενον.

Ἀριστερὸς χορός· Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Θ᾽ν λάκκῳ, * ἁμαρτιῶν ἐμπέπτωκα, * καὶ αὐτοῦ ἀναδραμεῖν οὐκ ἰσχύω, * ἀλλ᾽ ὁ Θεὸν τὸν ἐκ λάκκου λεόντων, * βαπτίσας πάλαι προφήτην ῥυσάμενον, * λιτάνευε ἵν᾽ ἐξ αὐτοῦ, * ἀναγάγῃ με Τίμιε Πρόδρομε.

Δεξιὸς χορός· Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὡς τεῖχος * καταφυγῆς κεκτήμεθα, * καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, * καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι Κόρη, * καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα· * ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, * τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Ἀριστερὸς χορός·

Διάσωσον * ἀπὸ κινδύνων, τοὺς δούλους σου, Βαπτιστὰ τοῦ Σωτῆρος, * ὅτι πάντες εἰλικρινῶς εἰς σὲ καταφεύγομεν, * ὡς ἄῤῥηκτον τεῖχος καὶ πρὸς Θεὸν πρέσβυν.

Δεξιὸς χορός·

Ἄχραντε, * ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, * ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, * ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Εἶτα μνημονεύει ὁ ἱερεύς·

Ἔλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἀριστερὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν Ἀνδρέου.

Δεξιὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ πατρὸς ἡμῶν (δεῖνα) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἀριστερὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ (ὀνόματα), πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ Μεγαλονήσῳ ταύτῃ, καὶ τῶν ἱεροψαλτῶν, προσκυνητῶν, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας Μονῆς ταύτης.

Δεξιὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ὅτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων καὶ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἱερᾷ Μονῇ ταύτῃ.

Ἀριστερὸς χορός· Κύριε, ἐλέησον (ἅπαξ).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀριστερὸς χορός· Ἀμήν.

Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.

Ἀντιλήπτωρ τῶν χριστιανῶν ὁ στερρότατος, * παρακλήτωρ τῶν ἁμαρτωλῶν ὁ θερμότατος, * μὴ παρίδῃς σῶν ὑμνητῶν δεήσεων φωνάς, * ἀλλὰ πρόφθασον, ὦ Βαπτιστά, * εἰς τὴν βοήθειαν ἡμῶν, * τῶν θερμῶς ἐκβοώντων σοι, * τάχυνον, ὦ Προφῆτα, * καὶ σπεῦσον, ὦ θεοκῆρυξ, * εἰς τὴν βοήθειαν ἡμῶν, * Ἰωάννη τῶν τιμώντων σε.

Καὶ εὐθὺς ὁ χορὸς τὸ Προκείμενον. Ἦχος δ΄.

Δεξιὸς χορός· Καὶ σὺ παιδίον Προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Ἀριστερὸς χορός· Καὶ σὺ παιδίον Προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Στίχος. Ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν.

Δεξιὸς χορός· Καὶ σὺ παιδίον Προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου.

Ἀριστερὸς χορός· … ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Ὁ Ἱερεύς· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Δεξιὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ὁ Ἱερεύς· Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Δεξιὸς χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς· Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου, τὸ Ἀνάγνωσμα.

Πρόσχωμεν.

Δεξιὸς χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Εὐαγγέλιον κατὰ Ματθαῖον (ια΄ 2-16).

Τῷ καιρῷ ἐκείνῳ, ἀκούσας ὁ Ἰωάννης ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Ἰησοῦ, πέμψας δύο τῶν μαθητῶν αὐτοῦ, εἶπεν αὐτῷ· σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν; καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε· τυφλοὶ ἀναβλέπουσι καὶ χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται

καὶ κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται καὶ πτωχοὶ εὐαγγελίζονται· καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Τούτων δὲ πορευομένων ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου· τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; προφήτην; ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. Οὗτος γάρ ἐστιν, περὶ οὗ γέγραπται· ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ βαπτιστοῦ· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν. Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ βαπτιστοῦ ἕως ἄρτι ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. Πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου προεφήτευσαν. Καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

Δεξιὸς χορός· Δόξα σοι, Κύριε, δόξα σοι. Καὶ εἶτα· Ἦχος β΄.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ταῖς τοῦ σοῦ Προδρόμου, * πρεσβείαις, Ἐλεῆμον, * ἐξάλειψον τὰ πλήθη * τῶν ἐμῶν ἐγκλημάτων.

Ἀριστερὸς χορός· Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς τῆς Θεοτόκου, * πρεσβείαις, Ἐλεῆμον, * ἐξάλειψον τὰ πλήθη * τῶν ἐμῶν ἐγκλημάτων.

Δεξιὸς χορός· Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Φίλε παθημάτων κοινωνέ, * Πρόδρομε Προφῆτα καὶ μῦστα, * καὶ Βαπτιστὰ τοῦ Χριστοῦ, * πάντων ἡμῶν μνήσθητι τῶν σὲ τιμώντων πιστῶς, * Ἰωάννη πανεύφημε, * καὶ ῥῦσαι κινδύνων * πάσης περιστάσεως ἐκ τῶν βελῶν τοῦ ἐχθροῦ, * σώους, καὶ ἀτρώτους φυλάττων, * πάντας ταῖς πρεσβείαις σου ὅπως, * σὲ χρεωστικῶς ἀεὶ δοξάζομεν.

Ὁ Ἱερεύς·

Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Ὕψωσον κέρας Χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια.

Πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας.

Δυνάμει τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ.

Προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων.

Ἱκεσίαις τοῦ Τιμίου καὶ Ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων.

Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων.

Τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων.

Τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν.

Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν Ἁγίων.

Ἱκετεύομεν σέ, μόνε πολυέλεε Κύριε. Ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Δεξιὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ἀριστερὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Δεξιὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ἀριστερὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ὁ Ἱερεύς· Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Δεξιὸς χορός· Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός. Οἱ ἐκ τῆς Ἰουδαίας.

Δεξιὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς Ἀδὰμ ἁμαρτίας, * τὸ χειρόγραφον Λόγον * τὸν διασπάσαντα, * ἐν ῥείθροις Ἰορδάνου, * κραυγάζων ὑπεδέξω, * Ἰωάννη πανεύφημε, * ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἀριστερὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Θελητὴν τοῦ ἐλέους, * τὸν φιλάνθρωπον μάκαρ, * ὑπὲρ τῶν δούλων σου, * δυσώπει ἐκ πταισμάτων, * αἰσχρῶν τε μολυσμάτων, * λυτρωθῆναι τοὺς ψάλλοντας, * ὁ τῶν Πατέρων ἡμῶν, * Θεὸς εὐλογητὸς εἶ.

Δεξιὸς χορός· Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Θησαυρὸν σωτηρίας, * καὶ γαλήνιον ὅρμον, * καὶ ἐν κινδύνοις ταχύν, * προστάτην τοῖς καλοῦσιν, * εἰδότες σε βοῶμεν, * τὸ κλυδώνιον στόρεσον, * τῶν πειρασμῶν Βαπτιστά, * ταῖς ἱκεσίαις σου.

Ἀριστερὸς χορός· Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σωμάτων μαλακίας, * καὶ ψυχῶν ἀῤῥωστίας, * Θεογεννήτρια, * τῶν πόθῳ προσιόντων, * τῇ σκέπῃ σου τῇ θείᾳ, * θεραπεύειν ἀξίωσον, * ἡ τὸν Σωτῆρα Χριστόν.

Δεξιὸς χορός· … ἡμῖν ἀποτεκοῦσα.

ὨΙδὴ η΄. Ὁ Εἱρμός. Τὸν Βασιλέα.

Ἀριστερὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τοὺς βοηθείας * τῆς παρὰ σοῦ δεομένους, * μὴ παρίδῃς Προφῆτα βοῶντας, * καὶ ἐξαιτουμένους, * τὴν σὴν ἐπιστασίαν.

Δεξιὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῶν ἰαμάτων, * τὸ δαψιλὲς ἐπιχέεις, * τοῖς πιστῶς ὑμνοῦσί σε Προφῆτα, * καὶ ἀνευφημοῦσι, * παμμάκαρ Ἰωάννη.

Ἀριστερὸς χορός· Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Τῆς σωτηρίας, * τὸν ἀρχηγὸν ἱκετεύων, * τὸν Χριστόν, Προφῆτα μὴ ἐλλίπῃς , * ὅπως ἐκ βασάνων, * ῥυσθῶμεν αἰωνίως.

Δεξιὸς χορός· Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῶν πειρασμῶν σὺ * τὰς προσβολὰς ἐκδιώκεις, * καὶ παθῶν τὰς ἐφόδους Παρθένε·* ὅθεν σε ὑμνοῦμεν.

Ἀριστερὸς χορός· … εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός. Κυρίως Θεοτόκον.

Δεξιὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥοήν μου τῶν δακρύων, * μὴ ἀποποιήσῃς, * ὁ ἐν ῥοαῖς Ἰορδάνου τὸν πάντων Θεόν, * συγκαταβάντα βαπτίσας, * ὃν μεγαλύνομεν.

Ἀριστερὸς χορός· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Κακώσεως δαιμόνων, * τῆς ἀδιαλείπτως, * ἐκπιεζούσης Προφῆτά με λύτρωσαι, * καὶ ἐπηρείας τῆς τούτων, * δεῖξον ἀνώτερον.

Δεξιὸς χορός· Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἰσχὺς καὶ θεραπεία, * τῇ ἐξ ἀκρασίας, * καὶ χαλεπῆς ἁμαρτίας Προφῆτα γενοῦ, * κεκακωμένῃ ψυχῇ μου, * ἵνα γεραίρω σε.

Ἀριστερὸς χορός· Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Χαρᾶς μου τὴν καρδίαν, * Πρόδρομε Κυρίου, * σὺν Μαριὰμ τῇ Παρθένῳ πληρώσασθαι, * τὸν τῶν ἁπάντων Δεσπότην, * νῦν καθικέτευε.

Δεξιὸς χορός·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, * μακαρίζειν σε τὴν Θεοτόκον, * τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. * Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ * καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν·* τὴν ὄντως Θεοτόκον * σὲ μεγαλύνομεν.

Ἀριστερὸς χορός·

Τὸν τοῦ Ζαχαρίου θεῖον βλαστόν, * καὶ τῆς Ἐλισάβετ τὴν παγκόσμιον χαρμονήν, * τὴν φωνὴν τοῦ Λόγου, τὸν λύχνον τοῦ Ἡλίου, * τὸν Πρόδρομον Κυρίου * ὕμνοις τιμήσωμεν.

Δεξιὸς χορός·

Τὸν τῆς μετανοίας καθηγητήν, * καὶ τῶν μοναζόντων ἀντιλήπτορα καὶ φρουρόν, * τὸν ἀπὸ κοιλίας μητρὸς ἡγιασμένον, * τὸν Πρόδρομον Κυρίου * ὕμνοις τιμήσωμεν.

Ἀριστερὸς χορός·

Ἁγίων ὑπέρτερε Βαπτιστά, * θεόπτα Προφῆτα, * μάρτυς ἄγγελε ἀσκητά, * μῦστα θεολόγε, Πρόδρομε φωνὴ λύχνε, * Χριστοῦ φίλε καὶ κῆρυξ * ἡμᾶς περίσωζε.

Δεξιὸς χορός·

Δέομαι Προφῆτα καὶ Βαπτιστά, * μὴ μὲ ὑπερίδῃς, * τὸν ἀνάξιον πρεσβευτήν, * καταβαπτισθέντα τοῖς πάθεσι τοῦ βίου, * καὶ ἐν βορβόρῳ ὄντα * σὺ μ' ἐξανάστησον.

Ἀριστερὸς χορός·

Μείζονα κριθέντα τῶν Προφητῶν, * σὲ τὸν τῆς ἐρήμου * μέγαν ὄντως καθηγητήν, * κήρυκα τὸν θεῖον, καὶ Βαπτιστὴν Κυρίου, * τὸν Πρόδρομον τὸν Μέγαν * ὕμνοις δοξάζομεν.

Δεξιὸς χορός·

Βαπτιστὰ καὶ Πρόδρομε τοῦ Χριστοῦ, * λύχνε φαεσφόρε ἱκετεύω σε ἐκτενῶς, * λύχνον ἄναψόν μοι, ψυχῆς τῆς ταλαιπώρου, * ἐσκοτισμένης οὔσης * καὶ καταλάμπτυνον.

Ἀριστερὸς χορός·

Πρέσβευε Προφῆτα πρὸς τὸν Θεόν, * ὑπὲρ τοῦ λαοῦ σου καὶ ἡμῶν τῶν ἁμαρτωλῶν, * τῶν καταφευγόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, * καὶ ῥῦσαι πάσης νόσου * καὶ περιστάσεως.

Δεξιὸς χορός·

Πρόδρομε Κυρίου καὶ Βαπτιστά, * λύχνε τοῦ ἡλίου ἑωσφόρε φωταγωγέ, * τὴν ἐσκοτισμένην τοῖς πάθεσι τοῦ βίου, * ψυχήν μου τὴν ἀθλίαν * σὺ φωταγώγησον.

Ἀριστερὸς χορός·

Χαίροις Μοναστῶν Πρόδρομε κρηπίς,* καὶ Μονῆς Καλλέργη ὁ ἀστέρας ὁ φωταυγής.* Χαίροις τοῦ Κυρίου πορείας μυστολέκτης,* τοῦ κλήρου καὶ λαοῦ τε * ὁ ἀντιλήπτορας.

Δεξιὸς χορός·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, * Πρόδρομε, Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, * οἱ Ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου, * ποιήσατε πρεσβείαν, * εἰς τὸ σωθῆναι ἡμᾶς.

Ὁ Ἀναγνώστης·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (γ΄).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς· Ὅτι Σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Δεξιὸς χορός· Ἀμήν.

Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς·* πάσης γὰρ ἀπολογίας ἀποροῦντες, * ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν·* Ἐλέησον ἡμᾶς.

Ἀριστερὸς χορός· Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν·* μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·* ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, * καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν·* σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου·* πάντες ἔργα χειρῶν σου, * καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Δεξιὸς χορός· Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην, ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· * ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσαιμεν· * ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα μνημονεύει ὁ ἱερεύς·

Ἔλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Δεξιὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην, καὶ πᾶσαν Μονὴν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ' ἡμῶν κινουμένην· καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἐν ὅσῳ λέγει ταῦτα ὁ ἱερεῦς, οἱ χοροὶ ψάλλουσιν κατανυκτικῶς.

Δεξιὸς χορός· Κύριε, ἐλέησον (ι΄). Ἀριστερὸς χορός· Κύριε, ἐλέησον (ι΄). Δεξιὸς χορός· Κύριε, ἐλέησον (ι΄). Ἀριστερὸς χορός· Κύριε, ἐλέησον (ι΄). Δεξιὸς χορός· Κύριε, ἐλέησον (ἅπαξ). Ἀριστερὸς χορός· Κύριε, ἐλέησον (ἅπαξ). Δεξιὸς χορός· Κύριε, ἐλέησον (ἅπαξ).

Ὅτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Δεξιὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ὅπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς.

Ἀριστερὸς χορός· Κύριε, ἐλέησον (γ΄).

Ὅλεήμων γάρ, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Δεξιὸς χορός· Ἀμήν.

Ὁ ἱερεύς·

Πρόσδεξαι, ὦ μετανοίας Κῆρυξ καὶ λύχνε τοῦ ἡλίου τῆς δόξης φαεινέστατε, τὴν παρ᾽ ἐμοῦ σοι προσφερομένην παράκλησιν, ὁ καὶ μείζων ἐν γεννητοῖς παρὰ τοῦ Σωτῆρος μαρτυρηθείς, ὁ τὰ στειρωτικὰ δεσμὰ διαλύσας καὶ τὴν πατρικὴν ἀφωνίαν εἰς εὐφωνίαν μετατρεψάμενος. Ὁ πᾶσι τὸν σωτήριον προκηρύξας νόμον καὶ τὸν ἕνα τῆς ὁμοουσίου καὶ ἀδιαιρέτου ὑπεραγίας Τριάδος Θεὸν Λόγον χειρὶ κρατῆσαι καὶ βαπτίσαι ἀξιωθείς, ὁ Πρόδρομός τε καὶ Προφητῶν ἁπάντων ὑπέρτερος, Ἰωάννη ἔνδοξε χαριτώνυμε, εἰσάκουσον καὶ ἄναψόν μου τὸν ἐσβεσμένον τῇ ῥαθυμίᾳ λύχνον τῆς ψυχῆς μου καὶ φώτισόν με τῇ εὐπαῤῥησιάστῳ πρεσβείᾳ σου. Ἐσπίλωσα γάρ

μου τὸν λογισμὸν καὶ ἠφάνισα κλῆρον τὸν πατρικόν, ἀλόγοις ὁμοιωθεὶς κτήνεσι καὶ ἀθλίως τούτοις συμβοσκηθεὶς ὁ δύστηνος. Πάντας ὑπερέβην ἐν ἀνομίαις, τῷ βορβόρῳ τῶν παθῶν κυλινδούμενος καὶ ἀσώτως δαπανήσας μου τὴν ζωήν. Ἀλλ' ἔγειρόν με τῇ μεσιτείᾳ σου, ὡς μεσίτην σε πλουτήσαντα πρὸς τὸν Κριτήν. Ἵλεών μοι τοῦτον ἀπέργασαι, ὡς παῤῥησίαν ἔχων πρὸς Αὐτόν. Ἔκτεινόν μοι τὴν ἄμαχον χεῖρά σου κατὰ παθῶν καὶ ἐκτελεῖν με τὸν βίον ἐν ἀγαθοῖς ἐνίσχυσον, ὅπως τῆς ζοφερᾶς ῥυσθείς κολάσεως, τῆς οὐρανίου τύχοιμι δόξης, ὦ Θεοῦ Προφῆτα καὶ Βαπτιστά, σαῖς ἱκεσίαις ταῖς πρὸς τὸν Κύριον, ὅτι Αὐτῷ πρέπει δόξα, ὕμνος, κράτος καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας.

Ὁ Ἀναγνώστης· Ἀμήν.

Ὁ ἱερεύς·

Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.

Ὁ Ἀναγνώστης· Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον (γ΄). Πάτερ ἅγιε, εὐλόγησον.

Καὶ ὁ ἱερεὺς ποιεῖ τὴν ἀπόλυσιν·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων·

τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δεξιὸς χορός· Ἀμήν.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Στείρας, ὁ Πανάγιος βλαστός, * βλάστημα τερπνὸν τῆς ἐρήμου, * ἡ χελιδὼν ἡ τερπνή, * ἀηδὼν ἡ εὔλαλος, περιστερὰ ἡ χρυσῆ, * τὴν στειρεύουσαν πάντοτε, * ἀθλίαν ψυχήν μου, * εὔκαρπον ἀνάδειξον ἀγαθῶν πράξεων, * ὅπως ἐκβλαστάνουσα στάχυν, * τὸν ἑκατοστεύοντα μάκαρ, * ἔνθεον προσάξῃ σοι τὴν αἴνεσιν.

Ἀριστερὸς χορός·

Δέσποινα, πρόσδεξαι * τὰς δεήσεις τῶν δούλων σου, * καὶ λύτρωσαι ἡμᾶς, * ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δεξιὸς χορός·

Τὴν πᾶσαν ἐλπίδα μου * εἰς σὲ ἀνατίθημι, * Μῆτερ τοῦ Θεοῦ·* φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἀριστερὸς χορός·

Θ᾽κ παντοίων κινδύνων τοὺς δούλους σου, * φύλαττε εὐλογημένη Θεοτόκε* ἵνα σε δοξάζωμεν, * τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Δεξιὸς χορός· Ἦχος α΄.

Τῇ πρεσβείᾳ, Κύριε, * πάντων τῶν Ἁγίων, * καὶ τῆς Θεοτόκου, * τὴν σὴν εἰρήνην δὸς ἡμῖν, * καὶ ἐλέησον ἡμᾶς, * ὡς μόνος οἰκτίρμων.

Ὁ Ἱερεύς· Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον ἡμᾶς.

Δεξιὸς χορός· Ἀμήν.

